ῥίψαν θοιμάτιον, φεῦγον ᾤχετο, οὗτοι δὲ αὐτὸν ἐπε-
δίωκον, ἐγὼ δὲ ἑτέραν ἀπελθὼν ὁδὸν ᾠχόμην. καίτοι 36
ποτέρους χρὴ αἰτίους τῶν γεγενημένων εἶναι νομίζειν,
τοὺς φεύγοντας ἢ τοὺς ζητοῦντας καταλαβεῖν; ἐγὼ μὲν
γὰρ ἡγοῦμαι πᾶσιν εἶναι δῆλον ὅτι φεύγουσι μὲν οἱ
περὶ αὐτῶν δεδιότες, διώκουσι δὲ οἱ βουλόμενοί τι
ποιῆσαι κακόν. οὐ τοίνυν ταῦτα εἰκότα ⟨μέν⟩, ἄλλως 37
δὲ περὶ αὐτῶν πέπρακται, ἀλλὰ καταλαβόντες τὸ μειρά-
κιον ἐκ τῆς ὁδοῦ ἦγον βίᾳ, ἐντυχὼν δ' ἐγὼ τούτων μὲν
οὐχ ἡπτόμην, τοῦ μειρακίου δ' ἐπελαμβανόμην· οὗτοι δὲ
ἐκεῖνόν τε ἦγον βίᾳ καὶ ἐμὲ ἔτυπτον. καὶ ταῦθ' ὑμῖν
ὑπὸ τῶν παραγενομένων μεμαρτύρηται. ὥστε δεινὸν εἰ
περὶ τούτων ἐγὼ δόξω προνοηθῆναι, περὶ ὧν οὗτοι
τυγχάνουσιν οὕτω δεινὰ καὶ παράνομα πεποιηκότες. τί 38
δ' ἄν ποτε ἔπαθον, εἰ τἀναντία τῶν νῦν γεγενημένων
ἦν, εἰ πολλοὺς ἔχων τῶν ἐπιτηδείων ἐγώ, ἀπαντήσας
Σίμωνι, ἐμαχόμην αὐτῷ καὶ ἔτυπτον αὐτὸν καὶ ἐδίωκον
καὶ καταλαβὼν ἄγειν βίᾳ ἐζήτουν, ὅπου νῦν τούτου ταῦ-
τα πεποιηκότος ἐγὼ εἰς τοιοῦτον ἀγῶνα καθέστηκα, ἐν
ᾧ καὶ περὶ τῆς πατρίδος καὶ τῆς οὐσίας τῆς ἐμαυτοῦ
ἁπάσης κινδυνεύω; Τὸ δὲ μέγιστον καὶ περιφανέστατον 39
πάντων· ὁ γὰρ ἀδικηθεὶς καὶ ἐπιβουλευθεὶς ὑπ' ἐμοῦ,
ὥς φησιν, οὐκ ἐτόλμησε τεττάρων ἐτῶν ἐπισκήψασθαι εἰς
ὑμᾶς. καὶ οἱ μὲν ἄλλοι, ὅταν ἐρῶσι καὶ ἀποστερῶνται
ὧν ἐπιθυμοῦσι καὶ συγκοπῶσιν, ὀργιζόμενοι παραχρῆμα
τιμωρεῖσθαι ζητοῦσιν, οὗτος δὲ χρόνοις ὕστερον.

Ὅτι μὲν οὖν, ὦ βουλή, οὐδενὸς αἴτιός εἰμι τῶν γε- 40
γενημένων, ἱκανῶς ἀποδεδεῖχθαι νομίζω· οὕτω δὲ διά-
κειμαι πρὸς τὰς ἐκ τῶν τοιούτων πραγμάτων διαφοράς,
ὥστε καὶ ἄλλα πολλὰ ὑβρισμένος ὑπὸ Σίμωνος καὶ κα-
ταγεὶς τὴν κεφαλὴν ὑπ' αὐτοῦ οὐκ ἐτόλμησα αὐτῷ ἐπι-